TEZAUR LITURGIC

13 IANUARIE

HARALAMBOS BOUSIA

# PARACLISUL
# SOBORULUI SF.CUVIOŞI-MUCENICI UCIŞI DE PERŞI DE LA MREA SF.TEODOSIE-ISRAEL

MREA SF.TEODOSIE-ISRAEL-2013


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 13 ΙΑΝΟΥΑΡΙΟΣ ΟΣΙΟΜΑΡΤΥΡΕΣ ΜΟΝΗΣ ΟΣΙΟΥ ΘΕΟΔΟΣΙΟΥ ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Κοινοβιάρχου ἡ Μονὴ ἐγκαυχᾶται, ὑμῶν ἀσκήσεως συντόνοις καμάτοις, καὶ πόνοις τῆς ἀθλήσεως Ἀββᾶδες σεπτοί, καὶ Πατέρες ἔνθεοι Ὁσιόαθλοι θεῖοι, πᾶσα δὲ σεμνύνεται τοῦ Χριστοῦ Ἐκκλησία, ὑμῶν λιταῖς ἐνθέρμοις πρὸς Αὐτόν, ἔλεος πᾶσιν ἀφθόνως δωρούμενον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Θεοδοσιᾶται Ὁσιομάρτυρες, χαίρετε. Χ. Μ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Θεοῦ ἱερεῖα ὡς ἐκλεκτά, ἐτύθητε θεῖοι, Ὁσιόαθλοι τῆς Μονῆς, Ὁσίου Θεοδοσίου πάντας, ὑμᾶς τιμῶντας κινδύνων λυτρώσασθε.

Ἐξ ὕψους εὐκλείας ὑμῶν πιστούς, ἀπαύστως φρουρεῖτε, Ὁσιόαθλοι ἐκλεκτοί, σεμνείου Θεοδοσίου θείου, ἀνευφημοῦντας ὑμῶν κατορθώματα.

Ὁσίαν πνύμνητοι ἀγωγήν, Θεοδοσιᾶται, διελθόντες μαρτυρικήν, εἰλήφατε χάριν ἱκετεύειν, ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον Κύριον.

*Θεοτοκίον.*

Δυνάμωσον πάντας τοὺς ἀσθενεῖς, οἰκέτας Σου Μῆτερ, ἀντιστῆναι τοῦ πονηροῦ, ἰσχύϊ Κυρία Θεοτόκε, τοὺς μεγαλύνοντας πλῆθος χαρίτων Σου.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανῶν κληρονόμοι διηνεκοῦς μέτοχοι, εὐφροσύνης Θεοδοσίου, Μάνδρας οἱ ἔνοικοι, οἱ μιαιφόνοις χερσίν, ἀποκτανθέντες θεόθεν, πάντα περισκέπετε, δῆμον Χριστώνυμον.

Σελασφόροι Πατέρες ἀθλητικοῖς σκάμμασιν, οἱ τελειωθέντες φρουρεῖτε, Ὁσιομάρτυρες, Θεοδοσίου Μονῆς, Κοινοβιάρχου τοὺς πίστει, ταῖς ὑμῶν δεήσεσι, πάντοτε σπεύδοντας.

Ἰαμάτων χειμάῤῥους ὑμῶν σορὸς πέφηνε, τῶν χαριτοβρύτων λειψάνων, Ὁσιομάρτυρες, τοῖς προσκυνοῦσιν αὐτά, σεμνοὶ Θεοδοσιᾶται, εὐλαβῶς ἑκάστοτε, θεομακάριστοι.

*Θεοτοκίον.*

Ἀειπάρθενε Μῆτερ Χριστιανῶν καύχημα, Κεχαριτωμένη Παρθένε, Θεογεννήτρια, ῥῦσαι ἡμᾶς

πειρασμῶν, καὶ λυπηρῶν καὶ κινδύνων, τοὺς ψαλμοῖς καὶ ᾄσμασι, Σὲ μεγαλύνοντας.

Στηρίζετε, ὑμῶν δεήσεσι πάντας τοὺς κλονουμένους, Ὁσιόαθλοι θαυμαστοὶ ὑμᾶς μεγαλύνοντας, ἐκθύμως σεπτοὶ Θεοδοσιᾶται.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Μονῆς ἀσκηταὶ Θεοδοσίου ἔμφρονος, ἀνόμων ἐχθρῶν οἱ μιαφόνοις ξίφεσι, κτανθέντες πρεσβεύσατε, τῷ Χριστῷ ἐκτενῶς Ὁσιόαθλοι, ὑπὲρ πιστῶν λειψάνων εὐλαβῶς, ὑμῶν προσκυνούντων θήκην πάνσεπτον.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Τῆς ἐρήμου οἰκήτορες, Θεοδοσιᾶται Ὁσιομάρτυρες, ἁγιάζετε καὶ ῥύεσθε, πειρασμῶν ὑμῖν τοὺς καταφεύγοντας.

Ἀσκητῶν ἀκροθίνια, καὶ Μαρτύρων κύμινα εὐωδέστατα, Θεοδοσιᾶται πάνσεπτοι, ἔστε ταχινοὶ ἡμῶν ἀκέστορες.

Ἰθυντῆρες πρὸς δώματα, ἔστε τὰ οὐράνια ἀπλανέστατοι, Θεοδοσιᾶται ἅγιοι, στεφηφόροι Μάρτυρες πανόσιοι.

*Θεοτοκίον.*

Οὐ παυόμεθα Δέσποινα, πλῆθος θαυμασίων Σου μεγαλύνοντες, καὶ δοξάζοντες τὸν Τόκον Σου, Λόγον τοῦ Θεοῦ τὸν ὑπεράγαθον.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σκέπετε ἀεί, καὶ περιφρουρεῖτε ἅπαντας, εὐσεβεῖς Ὁσιομάρτυρες σεπτοί, τοῦ Θεοδοσίου Μάνδρας κρίνα εὔοσμα.

Ἴασμοι τερπνοί, Θεοδοσιᾶται ἅγιοι, κατευφράνατε δεήσεων ὑμῶν, ταῖς ὀδμαῖς πιστῶν χοροὺς Ὁσιομάρτυρες.

Ὄλβοι τιμαλφεῖς, γενναιότητος βραβεύσατε, τὴν ὑγείαν ἡμῖν τοῖς εὐλαβῶς, μακαρίζουσιν ὑμᾶς Ὁσιομάρτυρες.

*Θεοτοκίον.*

Μέμνησο ἡμῶν, Σὲ τιμώντων Μητροπάρθενε, ὡς πιστῶν Χριστιανῶν καταφυγήν, καὶ τῶν ὄντων ἐν ταῖς λύπαις παραμύθιον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἀγάλματα, θεῖα ὁσιότητος, τὴν Μονὴν Θεοδοσίου τοῦ θείου, πανευκλεῆ μαρτυρίου κονίστραν, οἱ ἀναδείξαντες Ὁσιομάρτυρες, ὑμῶν λειψάνων τὴν σορόν, προσκυνοῦντας πιστῶς ἁγιάζετε.

Ῥωννύμενοι, πάντες Ὁσιόαθλοι, ταῖς ὑμῶν λιταῖς Θεοδοσιᾶται, πρὸς τὸν Θεὸν εὐλαβῶς προσκυνοῦμεν,

ὑμῶν λειψάνων σοτὸν τὴν προχέουσαν, πιστοῖς ἰάσεις ὡς κρουνόν, ἰαμάτων ἀστείρευτον Ἅγιοι.

Τοὺς Μάρτυρας, ἀσκητὰς γεραίροντες, τῆς Μονῆς Θεοδοσίου Ὁσίου, ἐν εὐλαβείᾳ αὐτοῖς ἐκβοῶμεν· Χριστὸν ἡμῖν ἀκλινῶς Ὁσιόαθλοι, καθιλεοῦσθε τοῖς πιστῶς, ἀνυμνοῦσιν ὑμῶν κατορθώματα.

*Θεοτοκίον.*

Ὑμνοῦντές Σε, ὡς προστάτιν ἄγρυπνον, καὶ ταχεῖαν βοηθὸν ἐν κινδύνοις, Θεογεννῆτορ προσφεύγομεν πίστει, ταῖς πρὸς Υἱόν Σου θερμαῖς παρακλήσεσι, τὸν πᾶσαν δόσιν ἀγαθήν, οὐρανόθεν πιστοῖς ἀπονέμοντα.

Στηρίζετε, ὑμῶν δεήσεσι πάντας τοὺς κλονουμένους, Ὁσιόαθλοι θαυμαστοὶ ὑμᾶς μεγαλύνοντας, ἐκθύμως σεπτοὶ Θεοδοσιᾶται.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου..*

Ὁσιομάρτυρες Μάνδρας θειότατοι, Θεοδοσίου σεπτοῦ ἐποπτεύετε, ἐξ ὕψους δόξης ἡμᾶς τοὺς ἐν ᾄσμασιν, ἀνευφημοῦντας ὑμῶν τὴν ἐνάσκησιν, καὶ τὴν σφαγὴν ἐν ἐρήμῳ τὴν ἄδικον.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ὁσίους Αὐτοῦ.*

Εὐαγγέλιον, κατὰ Λουκᾶν (Κεφ. στ᾿ 17-33): *Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...*

Δόξα: *Ταῖς τῶν Σῶν Ἁγίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ῥύσασθε στενώσεων, καὶ ἐπηρείας τοῦ πλάνου, τοὺς ὑμῖν προσπίπτοντας, πίστει Ὁσιόαθλοι, καλλιμάρτυρες, τῆς Μονῆς λείρια, τοῦ Θεοδοσίου, τοῦ Κοινοβιάρχου πάντερπνα, οἱ καταστέφοντες, Ἐκκλησίαν πᾶσαν ἀσκήσεσιν, ὑμῶν καὶ ἐναθλήσεως, πόνοις ἐν ἐρήμῳ μακάριοι, τριβώνιον οἱ χρώσαντες, τῆς ὑμῶν ἀσκήσεως αἵμασι, καὶ Χριστῷ δραμόντες, ἀπαύστως συνευφραίνεσθαι σεπτοί, τῷ δαψιλκῶς πᾶσι νέμοντι, στέφη ἀφθαρτότητος.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ῥαντισμῷ Ἀθλοφόροι ἁγιάζετες πάντας ὑμῶν δεήσεων, πρὸς Κύριον τοὺς πίστει, λειψάνων προσκυνοῦντας, τὴν ὑμῶν χαριτόβρυτον, σορὸν ἐν Μάνδρᾳ σεπτῇ, κλεινοῦ Θεοδοσίου.

Ἐκ δωμάτων τοῦ πόλου παμφαῶν εὐλογεῖτε καὶ ἐποπτεύετε, πιστοὺς ἀνευφημοῦντας, ὑμῶν στεῤῥοὺς καμάτους, ἰσαγγέλου βιώσεως, καὶ πόνους ἀθλητικούς, ὦ Θεοδοσιᾶται.

Συνωδᾷ εὐφημοῦντες τοὺς ὑμῶν θεαρέστους Ὁσιομάρτυρες, καμάτους καὶ τοὺς πόνους, ἐνδόξου

μαρτυρίου, ταῖς ὑμῶν καταφεύγομεν, λιταῖς ἀμνοὶ τῆς Μονῆς, σεπτοῦ Θεοδοσίου.

*Θεοτοκίον.*

Χαῖρε Θεογεννῆτορ Παναγία Παρθένε πιστῶς κραυγάζοντες· αἰτούμεθα εὐχάς Σου, πρὸς τὸν μονογενῆ Σου, Ἰησοῦν τὸν φιλάνθρωπον, Λόγον Ὑψίστου Θεοῦ, ὑπερευλογημένη.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἀμώμου ἄρνας, Θεοδοσίου Ὁσίου, τῆς Μονῆς εὐφημοῦντες πρεσβείας, τὰς αὐτῶν πρὸς Κτίστην, αἰτούμεθα τὰς θείας.

Ἰσχὺν θεόθεν, ἡμῖν ὀμβρίσατε θεῖοι, Ὁσιόαθλοι Θεοδοσίου, Μάνδρας τοῖς τιμῶσιν, ὑμῶν στεῤῥοὺς καμάτους.

Ῥαίνοντες ὕμνων, τοῖς μύροις μνήμην τὴν θείαν, τὴν ὑμῶν ὦ Θεοδοσιᾶται, χάριν ἐκζητοῦμεν, ὑμῶν καὶ προστασίαν.

*Θεοτοκίον.*

Εὐλόγει Μῆτερ, τοὺς μεγαλύνοντας πόθῳ, θαυμασίων Σου ἄμερον πλῆθος, Κεχαριτωμένη, Κυρία Θεοτόκε.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Τοὺς κατασπαζόμενους, ὑμῶν λειψάνων θήκας, ἐπευλογεῖτε ἀεὶ Ὁσιόαθλοι, Θεοδοσίου Ὁσίου Μονῆς σεβάσματα.

Εὑρεῖν τὸν μαργαρίτην, τοὺς ὑμᾶς τιμῶντας, τὸν πολυτίμητον καταξιώσατε, Χριστὸν Ὂν εὕρατε ἄθλοις Ὁσιομάρτυρες.

Χαρᾶς ἡμῶν καρδίας, Θεοδοσιᾶται, Ὁσιομάρτυρες τάχος ἐμπλήσατε, τοὺς εὐφημοῦντας ἐκθύμως ὑμῶν τὰ σκάμματα.

*Θεοτοκίον.*

Μὴ παύσῃ δυσωποῦσα, Σὸν Υἱὸν Παρθένε, ὑπὲρ ἡμῶν τῶν τιμώντων ἐν ᾄσμασι, τὴν προστασίαν Σου Μῆτερ πρὸς πάντα στένοντα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ὁσιομαρτύρων σεπτοὺς χορούς, τοῦ Θεοδοσίου, τοῦ Ὁσίου λαμπρᾶς Μονῆς, μέλψωμεν ἐκθύμως, στυγνῶς σφαγιασθέντας, ὡς ἄρνας ἐν ἐρήμου, βάθει γηθόμενοι.

Τοὺς ἐν τῇ ἐρήμῳ ἀσκητικοῖς, λάμψαντας καμάτοις, καὶ ἀθλήσεως εὐσθενοῦς, πόνοις εὐσχημόνως, Μονῆς Ὁσιοάθλους, Θεοδοσίου θείου, πάντες ὑμνήσωμεν.

Χαίρετε Ἀββᾶδες θεοειδεῖς, καὶ σεπτοὶ Πατέρες, τοῦ σεμνείου τοῦ εὐκλεοῦς, τοῦ Κοινοβιάρχου, Θεοδοσίου πάντες, δεινῶς σφαγιασθέντες, ἄρνες ὡς ἄμωμοι.

Θεοδοσιᾶται πιστῶν χορούς, Μάρτυρες φρουρεῖτε, καὶ ἀπήμονας τοῦ ἐχθροῦ, τῶν βελῶν τηρεῖτε, ἐν πίστει προσκυνοῦντας, ὑμῶν λειψάνων θήκην, τὴν χαριτόβρυτον.

Εὔχεσθε Ἀββᾶδες ὑπὲρ ἡμῶν, καὶ σεπτοὶ Πατέρες, προσκυνούντων πανευλαβῶς, τοὺς σοροὺς λειψάνων, ὑμῶν σημειοφόροι, Θεοδοσίου Μάνδρας, Ὁσιομάρτυρες.

Τοῦ Κοινοβιάρχου σεπτῆς Μονῆς, τοὺς Ὁσιοάθλους, εὐφημήσωμεν ἐν χορῷ, τοὺς ἀποκτανθέντας, ὡς ἄρνας μιαιφόνοις, παλάμαις τῶν ἀπίστων, πάντες Χριστώνυμοι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε, ἀσπασώμεθα πιστῶς, θήκην τῶν τιμίων λειψάνων, Θεοδοσίου Μονῆς, Ἀθλοφόρων κράζοντες· Ὁσιομάρτυρες, οἱ φοινίξαντες τρίβωνα, αἱμάτων ῥανίσι, τῆς ὑμῶν ἀσκήσεως, καὶ πορφυρώσαντες, χθόνα τῆς ῥήμου θεόθεν, τοὺς ὑμᾶς τιμῶντας φρουρεῖτε, καὶ ἐν τοῖς κινδύνοις περισκέπετε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*

